Μαξιμῖνος

αι'. Ἦν δέ τις ἐν τῷ στρατῷ Μαξιμῖνος ὄνομα, τὸ μὲν γένος τῶν ἐνδοτάτω Θρᾳκῶν καὶ μιξοβαρβάρων, ἀπό τινος κώμης ὡς ἐλέγετο, πρότερον μὲν ἐν παιδὶ ποιμαίνων, ἐν ἀκμῇ δὲ τῆς ἡλικίας γενόμενος διὰ μέγεθος καὶ ἰσχὺν σώματος ἐς τοὺς ἱππεύοντας στρατιώτας καταλεγείς. Εἶτα κατ' ὀλίγον χειραγωγούσης αὐτὸν τῆς τύχης, ἐλθὼν διὰ πάσης τάξεως στρατιωτικῆς, ὡς στρατοπέδων τε ἐπιμέλειαν τῶν ἐθνῶν τε ἀρχὰς ἐγχειρισθῆναι. Τὸν δὴ Μαξιμῖνον τοῦτον διὰ τὴν προειρημένην στρατιωτικὴν ἐμπειρίαν ὁ Ἀλέξανδρος ἐπέστησε πάσῃ τῇ στρατιᾷ νεολαίᾳ, ὡς ἀσκοίη τε αὐτοὺς τὰ στρατιωτικὰ, καὶ ἐς τὸ πολεμεῖν ἐπιτηδείους παρασκευάζοι. Ὁ δὲ, κατὰ πᾶσαν ἐπιμέλειαν ποιούμενος τὰ ἐγκεχειρισμένα, εὔνοιαν πολλὴν παρὰ τῶν στρατιωτῶν ἐκτήσατο, οὐ μόνον διδάσκων αὐτοὺς τὰ ποιητέα, ἀλλὰ καὶ τοῖς ἔργοις πάντων προηγούμενος· ὡς μὴ μαθητὰς εἶναι μόνον, ἀλλὰ ζηλωτὰς καὶ μιμητὰς τῆς ἐκείνου ἀνδρείας. Ἔτι τε καὶ δώροις αὐτοὺς καὶ παντοδαπαῖς τιμαῖς ᾠκειώσατο· ὅθεν οἱ νεανίαι ἐν οἷς ἦν τὸ πλεῖστον πλῆθος Παιόνων μάλιστα τῇ μὲν ἀνδρείᾳ τῇ Μαξιμίνου ἔχαιρον. Τὸν δὲ Ἀλέξανδρον ἔσκωπτον ὡς ὑπὸ τῆς μητρὸς ἀρχόμενον, καὶ διοικουμένων τῶν πραγμάτων ὑπὸ ἐξουσίας τε καὶ γνώμης γυναικός, ῥαθύμως τε καὶ ἀνάνδρως τοῖς πολεμικοῖς προσ- Ἡρωδιανὸς Βιβ. ς' η'.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

φερομένου εκόνου. Υπεμίμνησκον δε αλλήλους ἰόντες υπο-
ταις ανατολαις δια μέλλησιν αυτου πλαισμάτων, η
ὁτι μηδεν ανδρῆρα μηδε νεανικα παρέχοιτο ως Γερ-
μανους εἰδων. Οντες δε η ἀλλως προς το καινοτομον
επιτήδεια, η το μεν παρα της αρχης βαρυ δια μῆ-
κος εξουσίας ηγούμενα, ακερδές τε ἡδη, πάσης προαν-
λωμένης φιλοτιμίας. Το δε μέλλον η προσίων, ἐς τε το
κερδαλέον αυτοις εύ[illegible] . . . . . εβουλεύ-
σαντο αποσκευάσαντα [illegible] Αλέξανδρον, ανοιξον
δε αυτοκράτορα [illegible] Μαξιμῖνον συγρα-
τιώτην τε αυτον [illegible] η πλησιόνον, ἐς τε τον παρόντα
πόλεμον δι' εμπορίων [illegible] ανδρῆρα επιτήδεια δοκοῦντα.
Αθροισθέντες δε ἐς το πεδίον μπλισμένος, ως δη επι τα
συνήθη γυμνάσια προελθόντα, η επιγάντα αυτοις τον Μα-
ξιμῖνον ὁτε η αγνοοῦντα το πραττόμενον, ὁτε η λάθρα
τουτο προκατασκευάσαντα πορφύραν επιβαλόντες βα-
σιλικην αυτοκράτορα αναγορεύουσιν. Ο δε τα μεν
πρωτα παρητοῦτο, η την πορφύραν απερρίπτε· ως δε
ενέκοντο ξιφήρεις αποκτενον απειλοῦντες, τον παρόντα κιν-
δύνου το μέλλον προελόμενος, ανεδέξατο την τιμην, πολ-
λάκις αυτῳ πρότερα, ως ἐλεγε χρησμων ηὀνοῤῥάτων
την τοιαύτην τύχην προσρηκότων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ